# Ikkos

Testimonia DK 25

**Fr. 1** = Platón, Protagoras 316d
ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς πρόσχημα ποιεῖσθαι καὶ προκαλύπτεσθαι, τοὺς μὲν ποίησιν οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην, τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμωιδίας τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον, ἐνίους δέ τινας ἤισθημαι καὶ γυμναστικὴν οἷον Ἴκκος τε ὁ Ταραντῖνος καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς ἥττων σοφιστὴς Ἡρόδικος ὁ Σηλυμβριανός.

**Fr. 2**/ 1 = Platón, Leges VIII, 839e-840a
ἆρ᾽ οὖν οὐκ ἴσμεν τὸν Ταραντῖνον Ἴκκον ἀκοῆι διὰ τὸν Ὀλυμπίασί τε ἀγῶνα καὶ τοὺς ἄλλους, ὡς διὰ φιλονικίαν καὶ τέχνην καὶ τὸ μετὰ τοῦ σωφρονεῖν ἀνδρεῖον ἐν τῆι ψυχῆι κεκτημένος, ὡς λόγος, οὔτε τινὸς πώποτε γυναικὸς ἥψατο οὐδ᾽ αὖ παιδὸς ἐν ὅληι τῆι τῆς ἀσκήσεως ἀκμῆι;

**Fr. 2**/ 2 = Pausaniás, Graeciae descriptio VI, 10, 5
Ἴκκος δὲ ὁ Νικολαΐδα Ταραντῖνος τόν τε Ὀλυμπικὸν στέφανον ἔσχεν ἐπὶ πεντάθλωι καὶ ὕστερον γυμναστὴς ἄριστος λέγεται τῶν ἐφ᾽ αὑτοῦ γενέσθαι.

**Fr. 2**/ 3 = Stefanos Byzant., Ethnika, p. 603, 8 Meineke = s. v. Τάρας·
Ἴκκος ὁ Ταραντῖνος ἰατρὸς ἐπὶ τῆς οζ(?) ὀλυμπιάδος· μέμνηται τούτου καὶ Πλάτων ἐν Πρωταγόραι.

**Fr. 2**/ 4 = Eustathios, Commentarii ad Homeri Iliadem II; p. 610, 28 = p. 206, 9 van der Valk
Ἴκκος ὅπερ ἐστὶ κύριον ὄνομα σοφοῦ ἰατροῦ Ῥηγίνου ἐξ οὗ παροιμία ᾽τὸ δεῖπνον Ἴκκου᾽ διὰ τὸ εὐτελὲς τῆς ἐκείνου ζωῆς.

**Fr. 2**/ 5 = Eustathios, Comm. in Dionysii periegetae orbis descriptionem, p. 376, 9 Müller
ὅθεν Ἴκκος ἦν ὁ Ταραντῖνος ἰατρός, ὃς ἐπὶ βίου εὐτελείαι εἰς παροιμίαν κεῖται τὴν λέγουσαν ᾽Ἴκκου δεῖπνον᾽ ἐπὶ τῶν ἀπερίττως δειπνούντων.

**Fr. 3** = Iamblichos, De vita Pythagorica 267
Ἴκκος.